## Tekst 1

*De regering van Periander*

Ἄρξαντος δὲ τούτου ἐπὶ τριήκοντα ἔτεα καὶ διαπλέξαντος τὸν βίον εὖ διάδοχός οἱ τῆς τυραννίδος ὁ παῖς Περίανδρος γίνεται. Ὁ τοίνυν Περίανδρος κατ᾽ ἀρχὰς μὲν ἦν ἠπιώτερος τοῦ πατρός, ἐπείτε δὲ ὡμίλησε δι᾽ ἀγγέλων Θρασυβούλῳ τῷ Μιλήτου τυράννῳ, πολλῷ ἔτι ἐγένετο Κυψέλου μιαιφονώτερος. Πέμψας γὰρ παρὰ Θρασύβουλον κήρυκα ἐπυνθάνετο ὅντινα ἂν τρόπον ἀσφαλέστατον καταστησάμενος τῶν πρηγμάτων κάλλιστα τὴν πόλιν ἐπιτροπεύοι. Θρασύβουλος δὲ τὸν ἐλθόντα παρὰ τοῦ Περιάνδρου ἐξήγαγε ἔξω τοῦ ἄστεος, ἐσβὰς δὲ ἐς ἄρουραν ἐσπαρμένην ἅμα τε διεξήιε τὸ λήιον ἐπειρωτῶν τε καὶ ἀναποδίζων τὸν κήρυκα κατὰ τὴν ἀπὸ Κορίνθου ἄπιξιν, καὶ ἐκόλουε αἰεὶ ὅκως τινὰ ἴδοι τῶν ἀσταχύων ὑπερέχοντα, κολούων δὲ ἔρριπτε, ἐς ὃ τοῦ ληίου τὸ κάλλιστόν τε καὶ βαθύτατον διέφθειρε τρόπῳ τοιούτῳ. Διεξελθὼν δὲ τὸ χωρίον καὶ ὑποθέμενος ἔπος οὐδὲν ἀποπέμπει τὸν κήρυκα. Νοστήσαντος δὲ τοῦ κήρυκος ἐς τὴν Κόρινθον ἦν πρόθυμος πυνθάνεσθαι τὴν ὑποθήκην ὁ Περίανδρος. Ὁ δὲ οὐδέν οἱ ἔφη Θρασύβουλον ὑποθέσθαι, θωμάζειν τε αὐτοῦ παρ᾽ οἷόν μιν ἄνδρα ἀποπέμψειε, ὡς παραπλῆγά τε καὶ τῶν ἑωυτοῦ σινάμωρον, ἀπηγεόμενος τά περ πρὸς Θρασυβούλου ὀπώπεε. Περίανδρος δὲ συνεὶς τὸ ποιηθὲν καὶ νόῳ σχὼν ὥς οἱ ὑπετίθετο Θρασύβουλος τοὺς ὑπερόχους τῶν ἀστῶν φονεύειν, ἐνθαῦτα δὴ πᾶσαν κακότητα ἐξέφαινε ἐς τοὺς πολιήτας. Ὅσα γὰρ Κύψελος ἀπέλιπε κτείνων τε καὶ διώκων, Περίανδρός σφεα ἀπετέλεσε, μιῇ δὲ ἡμέρῃ ἀπέδυσε πάσας τὰς Κορινθίων γυναῖκας διὰ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν. Πέμψαντι γάρ οἱ ἐς Θεσπρωτοὺς ἐπ᾽ Ἀχέροντα ποταμὸν ἀγγέλους ἐπὶ τὸ νεκυομαντήιον παρακαταθήκης πέρι ξεινικῆς οὔτε σημανέειν ἔφη ἡ Μέλισσα ἐπιφανεῖσα οὔτε κατερέειν ἐν τῷ κεῖται χώρῳ ἡ παρακαταθήκη· ῥιγοῦν τε γὰρ καὶ εἶναι γυμνή· τῶν γάρ οἱ συγκατέθαψε εἱμάτων ὄφελος εἶναι οὐδὲν οὐ κατακαυθέντων· μαρτύριον δέ οἱ εἶναι ὡς ἀληθέα ταῦτα λέγει, ὅτι ἐπὶ ψυχρὸν τὸν ἰπνὸν Περίανδρος τοὺς ἄρτους ἐπέβαλε. Ταῦτα δὲ ὡς ὀπίσω

ἀπηγγέλθη τῷ Περιάνδρῳ (πιστὸν γάρ οἱ ἦν τὸ συμβόλαιον, ὃς νεκρῷ ἐούσῃ Μελίσσῃ ἐμίγη), ἰθέως δὴ μετὰ τὴν ἀγγελίην κήρυγμα ἐποιήσατο ἐς τὸ Ἥραιον ἐξιέναι πάσας τὰς Κορινθίων γυναῖκας. Αἱ μὲν δὴ ὡς ἐς ὁρτὴν ἤισαν κόσμῳ τῷ καλλίστῳ χρεώμεναι, ὁ δ᾽ ὑποστήσας τοὺς δορυφόρους ἀπέδυσέ σφεας πάσας ὁμοίως, τάς τε ἐλευθέρας καὶ τὰς ἀμφιπόλους, συμφορήσας δὲ ἐς ὄρυγμα Μελίσσῃ ἐπευχόμενος κατέκαιε. Ταῦτα δέ οἱ ποιήσαντι καὶ τὸ δεύτερον πέμψαντι ἔφρασε τὸ εἴδωλον τὸ Μελίσσης ἐς τὸν κατέθηκε χῶρον τοῦ ξείνου τὴν παρακαταθήκην. Τοιοῦτο μὲν ὑμῖν ἐστι ἡ τυραννίς, ὦ Λακεδαιμόνιοι, καὶ τοιούτων ἔργων.

*Herodotus, Historiën 5.92ζ-η4*

*Aantekeningen*

| | |
|---|---|
| *regel 1* | **διαπλέκω** voltooien |
| *regel 9* | **τὸ λήιον** het rijpe graan |
| *regel 9-10* | **ἀναποδίζω κατά** + *accusativus* terugbrengen op |
| *regel 10* | **ἡ ἄπιξις** komst |
| *regel 10 en 11* | **κολούω** snoeien |
| *regel 11* | **ὁ ἄσταχυς, -υος** korenaar |
| | **τὸ λήιον** het rijpe graan |
| *regel 16* | **παραπλήξ, -ῆγος** waanzinnig |
| *regel 17* | **σινάμωρος** + *genitivus* schade toebrengend aan |
| *regel 19* | **ὑπέροχος** uitstekend |
| *regel 23* | **τὸ νεκυομαντήιον** dodenorakel |
| *regel 25* | **κατερέω** *futurum van* **κατεῖπον** |
| *regel 26* | **συγκαταθάπτω** + *dativus* meebegraven met |
| *regel 28* | **ὁ ἰπνός** oven |
| | **ὁ ἄρτος** brood |
| *regel 30* | **τὸ κήρυγμα** bekendmaking |
| *regel 34* | **συμφορέω** bijeenbrengen |

## Tekst 2

*Gelo's reactie op het verzoek van de Grieken*

Οἱ μὲν ταῦτα ἔλεγον, Γέλων δὲ πολλὸς ἐνέκειτο λέγων τοιάδε· “ Ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλεονέκτην ἐτολμήσατε ἐμὲ σύμμαχον ἐπὶ τὸν βάρβαρον παρακαλέοντες ἐλθεῖν. Αὐτοὶ δὲ ἐμεῦ πρότερον δεηθέντος βαρβαρικοῦ στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς Καρχηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε τὸν Δωριέος τοῦ Ἀναξανδρίδεω πρὸς Ἐγεσταίων φόνον ἐκπρήξασθαι, ὑποτείνοντός τε τὰ ἐμπόρια συνελευθεροῦν ἀπ’ ὧν ὑμῖν μεγάλαι ὠφελίαι τε καὶ ἐπαυρέσιες γεγόνασι, οὔτε ἐμεῦ εἵνεκα ἤλθετε βοηθήσοντες οὔτε τὸν Δωριέος φόνον ἐκπρηξόμενοι, τό τε κατ’ ὑμέας τάδε πάντα ὑπὸ βαρβάροισι νέμεται. Ἀλλὰ εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ ἄμεινον κατέστη. Νῦν δὲ ἐπειδὴ περιελήλυθε ὁ πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις γέγονε. Ἀτιμίης δὲ πρὸς ὑμέων κυρήσας οὐκ ὁμοιώσομαι ὑμῖν, ἀλλ’ ἕτοιμός εἰμι βοηθέειν παρεχόμενος διηκοσίας τε τριήρεας καὶ δισμυρίους ὁπλίτας καὶ δισχιλίην ἵππον καὶ δισχιλίους τοξότας καὶ δισχιλίους σφενδονήτας καὶ δισχιλίους ἱπποδρόμους ψιλούς· σῖτόν τε ἁπάσῃ τῇ Ἑλλήνων στρατιῇ, ἔστ’ ἂν διαπολεμήσωμεν, ὑποδέκομαι παρέξειν. Ἐπὶ δὲ λόγῳ τοιῷδε τάδε ὑπίσχομαι, ἐπ’ ᾧ τε στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἑλλήνων ἔσομαι πρὸς τὸν βάρβαρον· ἐπ’ ἄλλῳ δὲ λόγῳ οὔτ’ ἂν αὐτὸς ἔλθοιμι οὔτ’ ἂν ἄλλους πέμψαιμι.”

Ταῦτα ἀκούσας οὔτε ἠνέσχετο ὁ Σύαγρος εἶπέ τε τάδε· “ Ἦ κε μέγ’ οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων πυθόμενος Σπαρτιήτας τὴν ἡγεμονίην ἀπαραιρῆσθαι ὑπὸ Γέλωνός τε καὶ Συρηκοσίων. Ἀλλὰ τούτου μὲν τοῦ λόγου μηκέτι μνησθῇς, ὅκως τὴν ἡγεμονίην τοι παραδώσομεν. Ἀλλ’ εἰ μὲν βούλεαι βοηθέειν τῇ Ἑλλάδι, ἴσθι ἀρξόμενος ὑπὸ Λακεδαιμονίων· εἰ δ’ ἄρα μὴ δικαιοῖς ἄρχεσθαι, σὺ δὲ μηδὲ βοηθέειν.”

Πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα ἀπεστραμμένους τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε ἐξέφαινε λόγον· “ Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν· σὺ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ οὔ με ἔπεισας ἀσχήμονα ἐν τῇ

ἀμοιβῇ γενέσθαι. Ὅκου δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς ἡγεμονίης, οἰκὸς καὶ ἐμὲ μᾶλλον ὑμέων περιέχεσθαι, στρατιῆς τε ἐόντα πολλαπλησίης ἡγεμόνα καὶ νεῶν πολλὸν πλεύνων. Ἀλλ’ ἐπείτε ὑμῖν ὁ λόγος οὕτω προσάντης κατίσταται, ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρχαίου λόγου. Εἰ τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέοισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ· εἰ δὲ ὑμῖν ἡδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν, τοῦ πεζοῦ ἐγὼ θέλω. Καὶ ἢ τούτοισι ὑμέας χρεόν ἐστι ἀρκέεσθαι ἢ ἀπιέναι συμμάχων τοιῶνδε ἐρήμους.”

Γέλων μὲν δὴ ταῦτα προετείνετο, φθάσας δὲ ὁ Ἀθηναίων ἄγγελος τὸν Λακεδαιμονίων ἀμείβετό μιν τοισίδε· “ Ὦ βασιλεῦ Συρηκοσίων, οὐκ ἡγεμόνος δεομένη ἡ Ἑλλὰς ἀπέπεμψε ἡμέας πρὸς σέ, ἀλλὰ στρατιῆς.”

*Herodotus, Historiën 7.158-161.1*

*Aantekeningen*

| | | |
|---|---|---|
| *regel 1* | **ἔγκειμαι** | tekeergaan |
| *regel 2* | **πλεονέκτης** | egoïstisch |
| *regel 4* | **βαρβαρικός** | niet-Grieks |
| | **συνεπάπτομαι** + *genitivus* | samen aanvallen |
| *regel 6* | **ὑποτείνω** | beloven |
| *regel 7* | **συνελευθερόω** | tegelijk bevrijden |
| | **ἡ ἐπαύρεσις** | winst |
| *regel 11* | **ἡ μνῆστις** | herinnering |
| *regel 13* | **δισμύριοι** | twintigduizend |
| *regel 14* | **δισχίλιος** | tweeduizendkoppig |
| | **δισχίλιοι** | tweeduizend |
| | **ὁ σφενδονήτης** | slingeraar |
| *regel 15* | **δισχίλιοι** | tweeduizend |
| | **ὁ ἱπποδρόμος** | cavalerist |
| *regel 16* | **διαπολεμέω** | de oorlog ten einde brengen |
| *regel 27* | **Σπαρτιήτης** | Spartaans |
| *regel 28* | **ἐπανάγω** | opwinden |
| *regel 31* | **πολλαπλήσιος** | vele malen groter |
| *regel 32* | **προσάντης** | onaangenaam |
| *regel 36* | **ἀρκέομαι** + *dativus* | zich tevredenstellen met |

## Tekst 3

*In de onderstaande tekst maakt het volk van de Scythen voor het eerst kennis met de Amazonen, een volk van vrouwelijke strijders. Een flinke groep Amazonen trekt namelijk plunderend door Scythië. De Scythische strijders vragen zich af met wat voor een volk ze te maken hebben.*

Οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ᾽ ἐν θώματι ἦσαν ὁκόθεν ἔλθοιεν, ἐδόκεον δ᾽ αὐτὰς εἶναι ἄνδρας τὴν πρώτην ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο. Ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι καὶ οὕτως ἔγνωσαν ἐούσας γυναῖκας.

Βουλευομένοισι ὦν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτάς, ἑωυτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτάς, πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἦσαν· τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκεινέων καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι ποιέωσι. Ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μή, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλησίον στρατοπεδεύεσθαι. Ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐκγενήσεσθαι.

*Herodotus, Historiën 4.111*

*Aantekeningen*

| | |
|---|---|
| *regel 1* | **συμβάλλομαι** begrijpen |
| *regel 2* | **ἐν θώματί εἰμι** zich verbaasd afvragen |
| *regel 3* | **τὴν πρώτην ἡλικίην** een jeugdige leeftijd |
| *regel 4* | **ἐκ** + *genitivus* na |
| *regel 5* | **ἐούσας** *Vul aan:* **αὐτάς** |
| *regel 6* | **οὐδενὶ τρόπῳ ἔτι** helemaal niet meer |
| *regel 7-8* | **πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἦσαν** nadat ze geschat hadden hoeveel vrouwen er waren |
| *regel 8* | **τούτους** *Hiermee worden de jonge mannen bedoeld;* **τούτους** *is subjectsaccusativus bij* **στρατοπεδεύεσθαι** *(regel 8) en bij* **ποιέειν** *(regel 9); vertaal:* ze moesten … |
| *regel 9* | **τά περ** hetzelfde als wat<br>**Ἢν = Ἐὰν**<br>**διώκωσι** *Onderwerp: de Amazonen* |
| *regel 10* | **μάχεσθαι** en **ὑποφεύγειν** *Vul bij deze infinitivi aan:* ze moesten<br>**ὑποφεύγω** zich terugtrekken<br>**παύσωνται** *Onderwerp: de Amazonen*<br>**αὐτοὺς** *subjectsaccusativus bij* **στρατοπεδεύεσθαι** *(regel 11); vertaal:* ze moesten … |